www.tezaurliturgic.ro

# 12 IULIE
# PARACLISUL
# SF.CUVIOS
# PAISIE EZNEPIDIS
# DE LA SUROTI

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

## ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΓΕΡΟΝΤΑ

## ΠΑΪΣΙΟΝ ΤΟΝ ΑΘΩΝΙΤΗΝ

ΤΟΝ ΘΕΡΑΠΕΥΤΗΝ ΠΑΝΤΩΝ ΤΩΝ ΓΑΣΤΡΕΝΤΕΡΙΚΩΝ ΝΟΣΗΜΑΤΩΝ

*
*
* * * * *
*
*

Ἀθῆναι 2010

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν ἰατρὸν ἀσθενειῶν τῶν ἐντέρων
καὶ τοῦ στομάχου εὐφημήσωμεν πόθῳ,
Παΐσιον τὸν Ὅσιον, βοῶντες τρανῶς·
Ἄθωνος ὡράϊσμα, εὐσεβείας πυξίον,
χάριτος μυράλειπτρον Παρακλήτου εὐῶδες
καὶ τοῦ Σεμνείου εὖχος Σουρωτῆς,
τῶν ἱκετῶν σου τὰς νόσους θεράπευσον.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Παΐσιε, ἰατρὸς εἶ νοσημάτων ἐντέρων. Χ. Μ."**

**ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Παΐσιε, Ἄθωνος οἰκιστὰ
θεόφρον, καρκίνου
κατωδύνου θεραπευτά,
ὡς νόσων ἐντέρων ἰατῆρα
σὲ ταχινὸν ἀνυμνοῦμεν, πανόσιε.

Ἀρρεύστων, Παΐσιε, ζηλωτά,
ἀπείληφας χάριν
οὐρανόθεν σῶν ἱκετῶν
αἱμάτων ῥοὰς ἐντέρων παύειν
τῶν εὐλαβῶς προστρεχόντων σῇ χάριτι.

Ἰάσεων, πάτερ, ἀσθενειῶν

ἐντέρων παντοίων
σέ, Παΐσιε, ὁ Χριστὸς
ἀνέδειξε χείμαῤῥον, ὁ πάντων
τὰς ἀσθενείας ἀνθρώπων ἰώμενος.

**Θεοτοκίον.**

Σανὶς σωτηρίας Χριστιανῶν,
ἁγνὴ Θεοτόκε,
ποντουμένων βιοτικοῖς
ἐν κλύδωσιν, ἴθυνον σοὺς δούλους
πρὸς μετανοίας λιμένα ὑπήνεμον.

**ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἰατρεύεις τὰς νόσους
σῶν ἱκετῶν τάχιστα,
τῶν γαστέρων καὶ τῶν ἐντέρων,
μάκαρ Παΐσιε,
τῶν προστρεχόντων τῇ σῇ
πρὸς τὸν Θεὸν παῤῥησίᾳ,
ᾯπερ εὐηρέστησας
ἄρτι ἀσκήσει σου.

Εὐσυμπάθητε πάτερ,
ὁ δεηθεὶς Κτίσαντος
νόσου ἀπαλλάξαι ἐμπόνου
σοὶ τὸν προστρέξαντα
πιστὸν καὶ δοῦναι αὐτοῦ
σοὶ τὴν δεινὴν ἀῤῥωστείαν,
ἴασαι, Παΐσιε,
νόσους προσφύγων σου.

Ἰατρὲ Ἀθωνῖτα,
πανευσθενὲς Ὅσιε,
ἐντεροκολίτιδος πάντων
τῶν προστρεχόντων σοι
αἱμοῤῥοούντων δεινῶς,
βράβευσον ῥῶσιν ταχέως
πᾶσι καὶ ὑγίειαν
τοῖς ἀνυμνοῦσί σε.

**Θεοτοκίον.**

Ἀειπάρθενε Μῆτερ
Λόγου Θεοῦ, πρόσδεξαι
τὰς ἡμῶν θερμὰς ἱκεσίας
ὥσπερ θυμίαμα
εὐῶδες καὶ σῷ Υἱῷ
αὐτὰς προσάγαγε τάχος,
πρέσβειρα ἀνύστακτε
τῶν προστρεχόντων σοι.

Ἰάτρευσον
αἱμοῤῥαγίας καὶ ἄλγη δεινὰ ἐντέρων,
ὁ τὰ ἄλγη τὰ ζοφερά, θεόφρον Παΐσιε,
αὐτῶν ὑπομείνας ἐν τῷ σῷ βίῳ.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Ἀσκήσει, εὐχῇ, στερήσεσι καὶ δάκρυσιν
ὁ χάριν πολλὴν ἑλκύσας τῶν ἰάσεων,
θαυμαστὲ Παΐσιε,
τῆς γαστρὸς καὶ ἐντέρων νοσήματα
σῶν ἱκετῶν θεράπευσον ταχὺ
φαρμάκῳ λιτῶν τῶν διαθέρμων σου.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Τοὺς πρὸς θέωσιν πόνους σου
ἀνυμνολογοῦντες ἐν ὄρει Ἄθωνος
δυσωποῦμέν σε· Παΐσιε,
νόσους ἀλγεινὰς ἡμῶν θεράπευσον.

Ῥῦσαι τάχος, Παΐσιε,
ἐντεροκολίτιδος τῇ σῇ χάριτι
καὶ αἱμάτων παῦσον τάχιστα
τὰς ῥοὰς τῶν ὕμνοις μελῳδούντων σε.

Οὐρανόφρον Παΐσιε,
ἄρτι ὁ τὴν χάριν τὴν ἐνοικοῦσάν σοι

www.tezaurliturgic.ro


δείξας πᾶσι σοι προστρέχουσιν,
ἀσθενεῖς ἐπίσκεψαι καὶ ἴασαι.

**Θεοτοκίον.**

Σὲ τιμῶντας ἀείποτε
ὕμνοις μὴ ἐλλίπῃς κατεποπτεύουσα
καὶ φρουροῦσα καὶ φυλάττουσα,
Κεχαριτωμένη Μητροπάρθενε.

**ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ἔμπλησον ἡμᾶς
ὑγιείας τοὺς τιμῶντάς σε
ὡς θεόσδοτον πιστῶν θεραπευτὴν
ἐξ ἐντέρων νόσων, Ὅσιε Παΐσιε.

Ἴασαι ἡμῶν
ἄλγος ἐντεροκολίτιδος
καὶ τὴν μάστιγα καρκίνου τὴν δεινὴν
ἱκετῶν σου ἀποδίωξον, Παΐσιε.

Νόσους ἀλγεινὰς
τάχος ἴασαι, Παΐσιε,
καὶ ῥοὰς αἱμάτων στῆσον σαῖς εὐχαῖς
ἰατρόν σε τῶν ὑμνούντων ὡς ἀνάργυρον.

**Θεοτοκίον.**

Ὄμβρισον ἡμῖν
ὑετὸν σῆς θείας χάριτος
μεγαλύνουσιν ἐν ὕμνοις σε φαιδροῖς
ὡς νεφέλην Χριστωνύμων ἀντιλήψεως.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

Σεμνύνεται πόνοις σου ἀσκήσεως
ὄρος Ἄθωνος, Παΐσιε μάκαρ,
καὶ προστασίᾳ καὶ σκέπῃ σου θείᾳ
τῶν εὐσεβούντων πληθύς, ἀσθενήματα
ἧς ἰατρεύεις τῆς γαστρὸς
καὶ ἐντέρων, μονότροπε Ὅσιε.

Ἡγίασεν, ἀσκητὰ Παΐσιε,
σὲ Θεός, Ὃν ἐκ μυχίων ἐφίλεις
τῆς σῆς καρδίας, καὶ ἔδειξε κρήνην
θαυμάτων σε πολυχεύμονα, Ὅσιε,
ἰᾶσθαι ἄλγη ζοφερὰ
τῆς γαστρὸς καὶ ἐντέρων προσφύγων σου.

Μακρόθυμον ἐκδυσώπει Κύριον
ὑπὲρ πάντων ἀλγεινῶς ἀσθενούντων
ἐκ νοσημάτων ἐντέρων, τρισμάκαρ,
Ἁγίου Ὄρους κοσμῆτορ, Παΐσιε,
ὁ τὸ Σεμνεῖον Σουρωτῆς
ἁγιάσας πανσέπτῳ σου μνήματι.

**Θεοτοκίον.**

Ἀνίατα, Θεοτόκε, ἴασαι,
πανευλόγητε, νοσήματα τάχος
τῶν ἱκετῶν σου λαμπρῶς ἀνυμνούνων
τοῦ νευαγοῦς Παϊσίου τὰ σκάμματα,
πυρσοῦ ἁπάσης ἀρετῆς,
προστρεχόντων τῇ θείᾳ σου χάριτι.

Ἰάτρευσον
αἱμοῤῥαγίας καὶ ἄλγη δεινὰ ἐντέρων,
ὁ τὰ ἄλγη τὰ ζοφερά, θεόφρον Παΐσιε,
αὐτῶν ὑπομείνας ἐν τῷ σῷ βίῳ.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τῶν ἀρετῶν τιμαλφὲς ἐνδιαίτημα,
Ἁγιορείτην Παΐσιον, μέλψωμεν
θεραπευτὴν ὡς γαστρὸς ἑτοιμότατον
καὶ τῶν ἐντέρων τῶν νόσων κραυγάζοντες·
Χαῖρε, πιστῶν ἄλγους ἀλεξιτήριον.

**Προκείμενον. Ἦχος δ΄.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. στ´ 17 - 33 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ....

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεῆμον,...

**Ἰδιόμελον. Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅσιε Παΐσιε,
τῶν κατωδύνως ἀλγούντων,
πάτερ εὐσυμπάθητε,
ἰατρὲ ἀνάργυρε,
καταπράϋον
θείᾳ δυνάμει σου
ἄλγη τῶν ἐντέρων
καὶ γαστρὸς τῶν προσφευγόντων σοι
καὶ ἀνυμνούντων σε
ὡς θεραπευτὴν ἑτοιμότατον
καρκίνου, ἐνθεώτατε
ἀσκητὰ τοῦ ὄρους τοῦ Ἄθωνος,
ὁ ἐν τοῖς ἐσχάτοις
τοῖς χρόνοις καταδείξας τοῖς πιστοῖς
χάριν Θεοῦ ἐνοικοῦσάν σοι
ξενοτρόποις θαύμασι.

Σῶσον, ὁ Θεὸς, τὸν λαόν Σου...

**Ὠδὴ ζ´. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τιμιώτατε πάτερ,
ἀσκουμένων κοσμῆτορ
ἐν ὄρει Ἄθωνος,
Παΐσιε, μὴ παύσῃ
Χριστὸν καθικετεύων
ἄλγη παῦσαι προσφύγων σου
ἐντέρων καὶ τῆς γαστρὸς
τῶν σὲ μεγαλυνόντων.

Ὡραΐσας ἀγῶσι
νυχθημέροις σου ἄρτι
τὸ ὄρος Ἄθωνος,
Παΐσιε, καὶ Μάνδραν
τοῦ θείου Θεολόγου
ἁγιάσας τῷ τάφῳ σου
εἴληφας χάριν πολλὴν
ὑπὲρ ἡμῶν πρεσβεύειν.

Νοσημάτων ἀκέστωρ
τῆς γαστρὸς καὶ ἐντέρων
ὑπάρχεις τάχιστος,
Παΐσιε, ὁ παύων
ῥοὰς αἱμάτων πάντων
τῶν πιστῶς προστρεχόντων σοι
καὶ ἀλγηδόνας πικρὰς
καρκίνου καταστέλλων.

**Θεοτοκίον.**

Ἐκ τοῦ ὕψους σῆς δόξης,
Θεοτόκε Παρθένε,
πιστοῖς ἐπόμβρισον
σῆς προστασίας ὄμβρον
καὶ ὑετὸν ἑτοίμης
ἀρωγῆς σου, πανύμνητε,
ἡ ἐλεοῦσα ἀεὶ
τοὺς μεγαλύνοντάς σε.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Νοσοῦσι ῥῶσιν
ταῖς σαῖς θερμαῖς ἱκεσίαις
πρὸς τὸν Κτίστην, Παΐσιε, δίδου,
σὲ ἀνευφημοῦσιν
ὡς συμπαθείας γέρας.

Τὰς ἀλγηδόνας
καὶ τὰς ῥοὰς τῶν αἱμάτων
ἐξ ἐντέρων, Παΐσιε, νόσων
παῦσον χάριτί σου
τῇ θείᾳ, Ἀθωνῖτα.

Ἐντέρων νόσων
θεραπευτὰ καὶ καρκίνου
ἰατρέ, τὴν ὑγίειαν δίδου
τοῖς πιστοῖς αἰτοῦσι,
Παΐσιε, σὴν χάριν.

**Θεοτοκίον.**

Ῥανίδας σμῆξον
ἡμῶν δακρύων, Παρθένε,
μανδηλίῳ θερμῶν πρεσβειῶν σου
πρὸς Χριστόν, Υἱόν σου
μονογενῆ τὸν θεῖον.

**ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ὡς χάριν εἰληφότα
τὰς αἱμοῤῥαγίας
ἐντέρων παύειν ταχέως, Παΐσιε,
σὲ ἀνυμνοῦμεν, ἐκθύμως ἅσπερ ὑπήνεγκας.

Νοσήματα ἐντέρων
παῦσον χάριτί σου
καὶ τὴν κολίτιδα, πάτερ, θεράπευσον
τῶν ἐκτελούντων σὴν μνήμην, σεπτὲ Παΐσιε.

Χαρίτων ἐκμαγεῖον,
πράϋνον τὰ ἄλγη
τῆς κατωδύνου ἐντεροκολίτιδος,
τῆς «Παναγούδας» οἰκῆτορ σεμνέ, Παΐσιε.

**Θεοτοκίον.**

Μετὰ τοῦ Παϊσίου,
Κεχαριτωμένη,
τοῦ Ἀθωνίτου, νοσοῦντας ἐπίσκεψαι
καὶ τὴν ὑγίειαν δίδου αὐτοῖς, Μητρόθεε.

**Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις, «Παναγούδας» ὁ οἰκιστής,
Ἄθωνος κοσμῆτορ
καὶ τῆς Μάνδρας ἐν Σουρωτῇ

θεῖος παρακλήτωρ,
Παΐσιε τρισμάκαρ,
θεραπευτὰ ἐντέρων
ὁ ἑτοιμότατος.

Τὰς αἱμορραγίας τὰς ζοφερὰς
καὶ τὰς ἀλγηδόνας
τῶν ἐντέρων ὁ ἐνεγκὼν
χάριτι τῇ θείᾳ
ὡς ἄσαρκος, δυσώπει
Χριστὸν ὑπὲρ νοσούντων,
πάτερ Παΐσιε.

Δεῦτε προσκυνήσωμεν εὐλαβῶς
οἱ πιστοὶ τὸν τάφον
Παϊσίου τοῦ θαυμαστοῦ
ἀσκητοῦ ἐν Μάνδρᾳ
σεπτῇ τοῦ Θεολόγου,
ὡς κρήνην θείαν ῥῶσιν
πᾶσι τὸν βλύζοντα.

Ἐντεροκολίτιδος ἰατρός,
τῶν αἱμορροούντων
κατωδύνως θεραπευτὴς
πέλεις καὶ καρκίνου
ὁ τάχιστος ἀκέστωρ,
Παΐσιε, οἰκῆτορ
πάνσεπτε Ἄθωνος.

Χαίροις, κλονουμένων ὁ στηριγμός,
χαίροις, ἀσθενούντων
ὁ θεόσδοτος ἰατρός,
χαίροις, ὁ τὴν χάριν
λαβὼν τῆς προφητείας
ἀφθόνως οὐρανόθεν,
πάτερ Παΐσιε.

Θεαυγὲς Παΐσιε, ἀσκητὰ
Ἄθωνος, ὁ δείξας
τὴν σὴν χάριν σαφῶς κἀμοὶ
σοὶ τῷ προσιόντι,

ἐπάκουσον φωνῆς μου
καὶ φέγγει ἀρωγῆς σου
φώτισον τέκνα μου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὸν ἐν Ὄρει Ἁγίῳ ἀρτίως λάμψαντα
ἀδιαλείπτῳ ἀσκήσει
καὶ νοερᾷ προσευχῇ
ἐπαινέσωμεν πιστοί, σεπτὸν Παΐσιον,
ὅτι ὡς ῥόδον εὐανθὲς
κατεμύρισε ψυχὰς
τοῖς λόγοις τοῖς θεοφθόγγοις·
καὶ νῦν τὰ κρείττονα νέμει
αὐτοῦ λιταῖς τοῖς καταφεύγουσι.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Νόσους τῶν ἐντέρων ἀλγεινὰς
ἴασαι, Παΐσιε μάκαρ,
Ἀθωνιτῶν ἀσκητῶν
εὖχος πολυτίμητον,
θεοειδέστατε,
ὁ τὴν χάριν ἰάσεων
λαβὼν οὐρανόθεν
δαψιλῶς καὶ ἅπαντας
πιστοὺς ῥωννύμενος,
πάτερ, τοὺς προσφεύγοντας πόθῳ
σοῦ τῇ ἀκλινεῖ προστασίᾳ
καὶ τῇ ἀντιλήψει, χαριτόβρυτε.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου

καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον.

**Μοναστοῦ ἴασαι, Παΐσιε, ἄλγη**
**σὲ τιμῶντος βοᾷ Χαραλάμπης, μάκαρ.**